## 24 NOIEMBRIE
## ANTONIOS MARKOU

# PARACLISUL SF.IERARH CLEMENT I, EPISCOPUL ROMEI




## PARACLISIERUL PE NOIEMBRIE–GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 24 Νοεμβρίου

# Παρακλητικός Κανών Ἱερομάρτυρος ΚΛΗΜΕΝΤΟΣ Πάπα Ῥώμης

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεός Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Ῥώμης τῆς πρώτης τῆς κλεινῆς τόν προστάτην,* δεῦτε φιλέορτοι τά νῦν συνελθόντες,* πνευματικοῖς τοῖς ἄσμασιν ὑμνήσωμεν φαιδρῶς·* Κλήμεντα τόν Μάρτυρα,* ἅμα σεπτόν Ἀρχιθύτην,* παρ' αὐτοῦ αἰτούμενοι* ὀφλημάτων τήν λύσιν·* τῶν αἰτουμένων τούτου εὐσεβῶς,* θείαν πρεσβείαν,* θερμήν τε ἀντίληψιν.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ Θεοτόκε,* τάς δυναστείας Σο υ λαλεῖν οἱ ἀνάξιοι·* εἰμή γάρ Σύ προΐστασο πρεσβεύουσα,* τίς ἡμᾶς ἐρρύσατο* ἐκ τοσούτων κινδύνων;* Τίς δέ διεφύλαξεν* ἕως νῦν ἐλευθέρους;* Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ,* Σούς γάρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμός.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς ἐν τοῖς Θεοτοκίοις· *ΑΝΤΩΝΙΟΥ*.

## Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Δώρησαί μοι λόγον, Τριάς σεπτή,* λιταῖς τοῦ ἁγίου* Λειτουργοῦ Σου καί φωτισμόν,* ἵνα δυνηθῶ τοῦ ἱκετεῦσαι* αὐτόν, αἰτούμενος πᾶσι Σόν ἔλεος.

Συνών σύν Ἀγγέλοις ἐν οὐρανοῖς* καί μέλπων ἀπαύστως* τόν τρισάγιον σύν αὐτοῖς,* ὑπέρ σῶν τεκνίων μή ἐλλίπῃς* τοῦ δυσωπεῖν καθ’ ἑκάστην τόν Κύριον.

Ἴον εὐωδέστατον τοῦ Σταυροῦ,* κρῖνον ἐκβλαστήσαν* ἐν τῆς Ῥώμης πατρῴᾳ γῇ,* ῥόδον εὐωδέστατον, Πάτερ,* τῇ Ἐκκλησίᾳ ἐπίβλεψον, Ἅγιε.

Θεοτοκίον.

Ἄνασσα Κόρη, ὑπερφυῶς,* τεκοῦσα τόν Λόγον* ὁμοούσιον τῷ Πατρί* καὶ Πνεύματι ἅμα· κῦψον ᾧδε* ἐπί τοῖς δούλοις Σου, Κόρη, καί ἐλέησον.

## Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Τά τοῦ σώματος πάθη* καί τῆς ψυχῆς τραύματα* πάντα θεραπεύων ἐν τάχει* πᾶσι χορήγησον* τοῦ προσκυνεῖν ἐν χαρᾷ* σήν χαριτόβρυτον θήκην,* ἥν καί ἀσπαζόμεθα πόθῳ τῷ ζέοντι.

Ὑμνωδίαν προσδέχου,* Ἱεραρχῶν καύχημα,* πρεσβυτέρας Ῥώμης ἁπάσης* κλεινόν ἀγλάϊσμα,* τῶν σῶν τεκνίων νυνί* ἐν συντριβῇ προσπιπτόντων* πρό τῆς θήκης, ἅγιε* Κλήμη, λειψάνων σου.

Ἀπό πάσης νῦν ζάλης* τῶν πειρασμῶν, Ἅγιε,* τῆς ἐπικρατείας παθῶν τε* ἡμᾶς ἀπάλλαξον,* Ἱερομάρτυς

Χριστοῦ* ἀξιοθαύμαστε Κλήμη,* ὡς ταχύς καί ἄμισθος* ῥύστης τῶν θλίψεων.

Θεοτοκίον.

Νεκρωθέντα με, Μῆτερ,* ταῖς τοῦ Βελίαρ προσκρούσεσι,* ζώωσον δεινῶς νεκρωθεῖσαν τοῖς παραπτώμασι,* Παρθένε Ἄχραντε,* τὴν παναθλίαν ψυχήν μου* καὶ ταύτην συνέτισον* φόβῳ τοῦ Κτίσαντος.

Διάσωσον* τοῦ Ἱεράρχου πρεσβείαις Παντελεήμον,* ὅτι πάντες κατόπιν Σοῦ αὐτῷ καταφεύγομεν,* ὡς ἔχοντα* τήν πρός Σέ παῤῥησίαν.

Ἐπίβλεψον*ἐπικαμπτόμενος Θεοτόκου* καί Κλήμεντος ταῖς λιταῖς Οἰκτῖρμον,* ἐφ' ἡμᾶς τούς ἀσθενεῖς* καί λύτρωσαι τόν λαόν Σου.

Κάθισμα. Ἦχος β'. Τά ἄνω ζητῶν.

Κλήμεντος τῇ πρεσβείᾳ νῦν προσπίπτομεν,* οἱ ἐν πόνοις ψυχῆς* καί θλίψεσι ὑπάρχοντες* καί δι' αὐτοῦ αἰτούμεθα* τό τοῦ Κυρίου ἄμετρον ἔλεος* καί τήν ταχεῖαν Τούτου συνδρομήν* κα ί τήν βεβαίαν Αὐτοῦ ἀντίληψιν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Νοσηρὰ πάθη κοίμησον* σαῖς λιταῖς, αἱρέσεις ἀπώθει, Ἅγιε,* ἀφ' ἡμῶν τῶν γεραιρόντων σε* καὶ παράσχου βίον ἀνεπίληπτον.

Ἱεραρχῶν θεοφώτιστε,* χάριν τὴν πλουσίαν ἐκ θείου Πνεύματος* ἥνπερ εἴληφας δὸς ἅπασι* καὶ καρδίας λύπης διασκέδασον.

Ταῖς σεπταῖς ἱκεσίαις σου* πρὸς τὸν Πανοικτίρμονα καὶ εὐήλατον* τοὺς ὑμνοῦντάς σε περίσωζε* καὶ ἀπό αἱρέσεως διάσωσον.

Θεοτοκίον.

Τῆς Μητρός Σου δεήσεσι,* Κλήμεντός τε θείου Κύριε δώρησαι,* τοῖς ἱκέταις Σου τὴν ἄφεσιν,* τῶν πλημμελημάτων, Ὑπεράγαθε.

ᾨδὴ ε΄. Φώτισον ἡμᾶς.

Κάλλος ψυχικόν* ἡμῖν δὸς Κλήμη πανόλβιε* καὶ λογισμὸν τὸν ἔνδον ἔχειν Θεῷ,* ἵν’ εἰρηναίως βιοῦντες* Χριστὸν δοξάζομεν.

Ὁμολογητά* ἐν Χερσῶνι ὄφιν ᾔσχυνας* τῇ ἀηττήτῳ ἰσχύϊ τοῦ Σταυροῦ,* τρόπαιον νίκης ἐγείρας,* ὃ πᾶσι βράβευσον.

Ὕψη ἀναβάς,* Ἀθλοφόρε, ἐπουράνια,* ἕλκυσον πάντας πρὸς βίον ταπεινόν,* ὅπως εἰς δόξαν* θεϊκῆς τρυφῆς ἀνέλθωμεν.

Θεοτοκίον.

Ὡραΐσόν με, Ἁγνή,* ταῖς ἀκτῖσι τοῦ προσώπου Σου,* τὸ καθαρὸν Χριστοῦ παλάτιον* καὶ καθορᾶν με τῆς μορφῆς Αὐτοῦ ἀξίωσον.

ᾨδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Σωθείημεν* σαῖς πρεσβείαις, Ἅγιε,* ἐν τῷ πλῷ σεπτῆς νηός Ἐκκλησίας,* ἐκ πειρασμῶν καθ’ ἡμέραν τοῦ βίου* καί ψυχικῶν προσβολῶν τοῦ ἀλάστορος,* ὧν γνώστης ὤν Κλήμη σεπτέ,* εἰς Χριστόν πάντας ἡμᾶς καθοδήγησον.

Εἰσάκουσον,* Κλήμη Ῥώμης Ἐπίσκοπε,* τήν πιστῶν ἐκ ψυχῆς ἀγωνίαν,* ὅτι καί νῦν κινδυνεύει ἡ πίστις* ἐκ προσβολῶν δεινοτάτων αἱρέσεων* καί λύτρωσαι πάντας ἡμᾶς* δυσωπῶν Ἰησοῦν τόν φιλάνθρωπον.

Ῥημάτων* τῆς σῆς ἡδίστου γραφίδος* τὴν φωνὴν καὶ νῦν ἐνήχησον πάλιν* ἐν ταῖς ψυχαῖς νοερῶς τῶν σῶν τέκνων* ἀπὸ ληθάργου δεινοῦ διεγείρουσαν* ἡμᾶς, ὦ Κλήμη ἱερέ,* πρὸς σπουδὴν ἀγαθῶν, Μάρτυς, πράξεων.

Θεοτοκίον.

Νενίκημαι,* ὑπό παθῶν τῶν τοῦ βίου* τῶν ἀκαθάρτων, ἅ μολύνουσι, Μῆτερ,* τήν ἐν ἐμοί τοῦ Κυρίου εἰκόνα·* παρηγορίας πηγή παρηγόρησον,* τόν δάκρυσι καί στεναγμοῖς* κατατρυχόμενον, Κόρη Πανύμνητε.

Κοντάκιον. Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Μεσιτείᾳ θείᾳ τῆς Μητρός Σου, Πολυέλεε,*
ἱκεσίαις Ἱεράρχου καί δεήσεσι,*
τῷ Σῷ λαῷ ἐπίβλεψον καί σῶσον ἡμᾶς·*
ἡμάρτομέν Σοι, Ἀγαθέ,* καί παροργίζομεν ἀεί,* τήν Σήν σεπτὴν ἀγαθότητα·*
δέχου τήν μεσιτείαν* τῆς παναχράντου Μητρός Σου,*
ἐπικαμπτόμενος, Σωτήρ,* Αὐτῆς ταῖς δεήσεσι.

Προκείμενον. *Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.*

Στ. *Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη, ἐνωτίσασθε, πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην.*

Εὐαγγέλιον ἐκ τοῦ κατά Ἰωάννην (Κεφ. ι΄ 1-9).

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶν καὶ λῃστής· ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας ποιμήν ἐστιν τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει καὶ τὰ ἴδια πρόβατα φωνεῖ κατ᾽ ὄνομα καὶ ἐξάγει αὐτά. Ὅταν τὰ ἴδια πάντα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασιν τὴν φωνὴν αὐτοῦ· ἀλλοτρίῳ δὲ οὐ μὴ ἀκολουθήσουσιν, ἀλλὰ φεύξονται ἀπ᾽ αὐτοῦ, ὅτι οὐκ οἴδασιν τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ ᾿Ιησοῦς· ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν ὁ ᾿Ιησοῦς· ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ κλέπται εἰσὶν καὶ λῃσταί· ἀλλ᾽ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾽ ἐμοῦ ἐάν τις εἰσέλθῃ σωθήσεται καὶ εἰσελεύσεται καὶ ἐξελεύσεται καὶ νομὴν εὑρήσει.

Δόξα. Ταῖς τοῦ Ἱεράρχου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Δεῦτε πάντες Κλήμεντα,* τῆς Ῥώμης τόν Ἀρχιθύτην,* ἐν ὕμνοις τιμήσωμεν,* οἱ αὐτῷ προσπίπτοντες μετά πίστεως.* Τῷ Θεῷ οὗτος γάρ,* ὑπέρ λαοῦ ἅπαντος,* μετά ζέσεως προσδέεται,* ἐπικαλούμενος* ἐφ' ἡμᾶς Κυρίου τό ἔλεος·* καί Τούτου τήν σωτήριον* ἐπί

τοῖς δεομένοις βοήθειαν·* χαῖρε αὐτῷ βοῶντες,* δοχεῖον τοῦ
Κυρίου ἐκλεκτόν* καί τῆς Αὐτοῦ παρατάξεως* Ἱεράρχα τίμιε.

Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἱλαρότητι γνώμης* συμπαθέστατος πέλων,* Κλήμη, τοῖς πταίουσι,* ψυχήν μου τὴν ἀθλίαν* ἐκ βαράθρου πταισμάτων* πρὸς μετάνοιαν ἕλκυσον,* τῇ συμπαθείᾳ τῇ σῇ,* Πάπα Ῥώμης θεόφρον.

Ἐντολῶν τοῦ Σωτῆρος* πρὸς θερμὴν ἐργασίαν* ἡμᾶς διέγειρον* τῇ σῇ ἐπιστασίᾳ,* Κλήμη θεοφόρε,* τοὺς πιστῶς ἀνακράζοντας·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς, εὐλογητὸς εἶ.

Ὀφρὺν τῶν νῦν βαρβάρων,* κακοδόξων τὰ θράση,* δαιμονοπλήκτων ὀφρύν,* ἐν τάχει Ἱεράρχα* κατάβαλε, θεόφρον,* ἵνα χαίροντες κράζομεν·* ὁ τῶν Πατέρων ἡμῶν* Θεὸς, εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὦ Μῆτερ Θεοτόκε,*
ἐπαίρουσα μή παύῃς* χεῖρας Υἱῷ Σου Ἁγνή·*
ἀνάψυξον, Παρθένε,* ψυχάς πεπυρωμένας,* τῶν μετά πόθου ψαλλόντων Σοι·* χαῖρε οὐράνιε λιμήν* πάντων τῶν σωζομένων.

Ὠδή η'. Τόν Βασιλέα.

Ἴδε παμμάκαρ* τοὺς εὐλαβῶς προσελθόντας* τῇ ἁγίᾳ σου καὶ πανευώδει θήκῃ* τῇ ἐν τῇ Χερσῶνι* καὶ δός αὐτοῖς σήν χάριν.

Ἐλέους θείου* καὶ δωρεῶν πλῆσον πάντας* καὶ λαὸν Ἑλλάδος γῆς τόν τιμῶντα* σὲ τὸν θεηγόρον* Μάρτυρα τοῦ Κυρίου.

Ἤδη πληροῦντες* Κλήμεντος τόν ὕμνον,* ἐλπίζομεν τυχεῖν αὐτοῦ πρεσβείαις,* γνησίᾳ μετανοίᾳ* τοῦ μακαρίου τέλους.

Θεοτοκίον.

Ὦ φῶς μοι δίδου,* ψυχῆς ἀορασίαν,* φωταγωγοῦσα Σύ, φωτός ἀκτίστου Μῆτερ,*
τοῦ δεομένου* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ὑψόθεν μὴ ἐλλείπῃς,* Πάτερ, ἐποπτεύων* καὶ τὰς δεήσεις ἀεὶ προσδεχόμενος* τῶν εὐλαβῶς προσιόντων* σῇ θείᾳ λάρνακι.

Ὀρδὰς τῶν ἀλλοπίστων* δίωξον, Ἱεράρχα,* ἡμᾶς τοὺς ἀπειλοῦντας δουλῶσθαι οἰκτρῶς* καὶ ὑπερμάχει τῶν πίστει ἀεὶ τιμώντων σε.

Ἀσμένως νῦν προσδέχου* ὕμνους τοὺς πτωχούς μου,* Ἱερομάρτυς Κυρίου παμπόθητε,* οὓς καί προσφέρω πρός σέ,* ὡς χήρας δίλεπτον.

Θεοτοκίον.

Σωτῆραν ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* Κλήμεντι ὁμοῦ Αὐτόν ἱκετεύσατε,* ἵνα δωρήσηται πᾶσιν* ἡμῖν τὴν ἄφεσιν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς,*
μακαρίζειν Σε τήν Θεοτόκον,*

τήν ἀειμακάριστον καί παναμώμητον* καί μητέρα τοῦ Θεοῦ ἡμῶν.* Τήν τιμιωτέραν
τῶν Χερουβείμ* καί ἐνδοξοτέραν* ἀσυγκρίτως τῶν Σεραφείμ,* τήν ἀδιαφθόρως* Θεόν Λόγον τεκοῦσαν,* τήν ὄντως Θεοτόκον* Σέ μεγαλύνομεν.

Μεγαλυνάρια.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί,* Κλήμεντα τόν θεῖον,* τόν τῆς Πίστεως ὁδηγόν,* τόν ἐν τῇ Χερσῶνι* Κύριον τόν Σωτῆρα* κηρύξαντα ἐνθέως,* Θεόν σαρκούμενον.

Χαίροις Πάτερ ἅγιε θαυμαστέ,* μύστα τῶν ἀρρήτων,* πενομένων προνοητά·* χαίροις ὁ τῆς Ῥώμης* γόνος τε καί Μάρτυς* καί ταύτης σύ ὁ τρίτος* Πάπας ὁ ἔνδοξος.

Μαρτυρίου αἵματι τήν στολήν* ψυχῆς πορφυρώσας,* νῦν χορεύεις ἐν οὐρανοῖς,* μετά τῶν Ἁγίων* Μαρτύρων Ἱεράρχα·*
ὅθεν ἡμῖν ἐκεῖθεν* πίστιν ἐπόμβρησον.

Τό Μεγαλυνάριον τοῦ Ἁγίου τοῦ Ναοῦ ἤ τοῦ Ἁγίου τῆς ἡμέρας. Καί κλείομεν μετά τοῦ·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί,*
Πρόδρομε Κυρίου,* Ἀποστόλων ἡ δωδεκάς,*
οἱ Ἅγιοι Πάντες* μετά τῆς Θεοτόκου,*
ποιήσατε πρεσβείαν* εἰς τό σωθῆναι ἡμᾶς.

Τό Τρισάγιον καί τά Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.

Ἐλέησον ἡμᾶς, Κύριε,* ἐλέησον ἡμᾶς,* πάσης γάρ ἀπολογίας ἀποροῦντες,*

ταύτην Σοι τήν ἱκεσίαν, ὡς Δεσπότῃ,* οἱ ἁμαρτωλοί προσφέρομεν,* ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς,* ἐπί Σοί γάρ πεποίθαμεν.* Μή ὀργισθῇς ἡμῖν σφόδρα,* μηδέ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν.* Ἀλλ' ἐπίβλεψον καί νῦν ὡς εὔσπλαχνος* καί λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν.* Σύ γάρ εἶ Θεός ἡμῶν καί ἡμεῖς λαός Σου,* πάντες ἔργα χειρῶν Σου* καί τό ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.

Τῆς εὐσπλαχνίας τήν πύλην ἄνοιξον ἡμῖν,* εὐλογημένη Θεοτόκε,* ἐλπίζοντες εἰς Σέ μή ἀστοχήσωμεν,* ῥυσθείημεν διά Σοῦ τῶν περιστάσεων·* Σύ γάρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἀπόλυσις. Τῶν δέ Χριστιανῶν ἀσπαζομένων τήν Εἰκόνα τοῦ Ἁγίου καί χριομένων δι' ἁγίου ἐλαίου, ψάλλονται τά παρόντα Τροπάρια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Πάντας τούς προσφεύγοντας πιστῶς,* ἐν τῷ σῷ ναῷ καί τῇ θήκῃ,* Κλήμη θεόστεπτε,* ῥύου πάσης θλίψεως καί περιστάσεως·* τῶν παθῶν δέ διάλυσον* τόν σάλον πταιόντων,* ἅπασι προχέων νῦν* χάριν σωτήριον·* Σύ γάρ τῆς

Ῥωμαίων ὑπάρχεις* πόλεως ποιμήν καί προστάτης,* πάντων δέ πιστῶν σεπτόν ἐντρύφημα.

Δέσποινα πρόσδεξαι* τάς δεήσεις τῶν δούλων Σου* καί λύτρωσαι ἡμᾶς,* ἀπό πάσης ἀνάγκης και θλίψεως.

Τήν πᾶσαν ἐλπίδα μου,* εἰς Σέ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπό τήν σκέπην Σου.

Δίστιχον.

*Κλήμεντος αἰτήσαντος Γαρδικίου Ἐπισκόπου,*

*Ἀντώνιος ὕψωσεν θείῳ Κλήμεντι τάς χεῖρας,*

*Αἰτούμενος χάριν ἐλθεῖν αὐτοῖς παρά Κυρίου,*

*Τοῖς δεομένοις, τῇ σεπτῇ τοῦ Κλήμεντος πρεσβείᾳ.*


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ